**ΜΕΤΑΠΤΥΧΙΑΚΟ ΣΕΜΙΝΑΡΙΟ ΑΡΧΑΙΑΣ ΙΣΤΟΡΙΑΣ**
**Χειμερινό Εξάμηνο 2019-2020**
**Θέμα:** Ρωμαϊκή εξουσία και τοπικές κοινωνίες

**Σοφία Ανεζίρη**
**17/12/2019**
**Ρωμαίοι και Διονυσιακοί τεχνίτες: το ζήτημα των προνομίων**

1. *Corinth* VIII 3, 40, Κόρινθος, 196-146 π.Χ.

[— — — — — — — — — — — — — — — — — — — — — — —]
[τε]χ̣ν̣ί̣τ[ας] ἀσφά[λειαν — — — — — — — — — — —]
ω̣ν̣ ̣τοῖς τεχνίτα̣[ις — — τῶν κοινῶν εὐεργετῶ]-
ν Ῥωμαίων καὶ αγ̣[— — — — — — — — — — — — —]
θιαν εἰς τὴν σύν[οδον — — — — — — — — — — — —]
ων τοὺς μετέχ[οντας — — — — — — — — — — — —]
οις τὰ τίμια ἃ [— — — — — — — — — — — — — — — —]
[.] αὐτῶν τ[— — — — — — — — — — — — — — — — —]
[με]τεχο̣ν̣[τ— — — — — — — — — — — — — — — — —]
[— — — — — — — — — — — — — — — — — — — — —]

2. *I.Iasos* 52, Ιασός, μέσα 2ου αι. π.Χ.

Γνώμη τοῦ κοινοῦ τῶν περὶ τὸν Διόνυ[σον τεχ]νιτῶν [τῶ]ν ἐν Ἰωνίαι [κ]α[ὶ] Ἑλλησ-
πόντωι καὶ τῶν περὶ τὸν Καθηγημόνα Δι[όνυ]σον· ἐπειδὴ Ἰασεῖς φίλοι καὶ οἰκεῖο[ι κ]α[ὶ]
εὐ[εργέ]ται ὑπάρχοντες καὶ [τὴν προϋπάρχουσαν εὔνοιαν καὶ] φιλίαν ε[—]
[τηρ]οῦντες τὴν πρὸς τοὺ[ς τεχνίτας — —]ον κα[— —]νεδημον, [τη]-
[ρ]οῦντες δὲ καὶ **τὰ δεδο[μένα τίμια** τῶι κ]οινῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν ὑπὸ
[τῶν Ἑλλή]νων κατὰ τὰς [μαντείας **καὶ ὑπὸ Ῥωμ]αίων τῶν κοινῶν [εὐ]ε[ρ]γ[ε]τῶν κα[ὶ] σωτήρων**…

3a. Sherk, *RDGE* 44, Θήβα, 146-144 π.Χ.

[— — — — — — — — — — — — — — — — ]Ο̣Υ̣ΙΕ[.]ΟΙ[. . .]
[Μακεδονίαι] ̣τῇ Ῥωμ̣α̣ίων ἐπαρχείαι καὶ ἧς ἐπάρχουσ̣[ιν]
[τῆς Ἑλλάδος] συγχωρῶ ὑμῖν ἕνεκεν τοῦ Διονύσου κα[ὶ]
[τῶν ἄλλων θε]ῶν καὶ τοῦ ἐπιτηδεύματος οὗ προεστήκ[ατε]
[ὑμᾶς παντάπα]σιν **ἀλειτουργήτους εἶναι καὶ ἀνεπισταθ-**
**[μεύτους καὶ ἀτελ]εῖς καὶ ἀν[ει]σφό[ρ]ους πάσης εἰσφορᾶ[ς]**
**[καὶ αὐτοὺς καὶ γ]υναῖκας καὶ τέκνα ἕως ἂν εἰς ἡλι[κίαν]**
**[ἀνδρικὴν ἐξίκω]νται καθὼς παρεκαλεῖτε**. *vacat*

3b. P. Roesch, *Etudes béotiennes* (1982) 199 ff. no 44

[Ἀ]γαθῇ τύχη̣.
[Λεύκιος Μόμμιο]ς στρατηγὸς ὕπατος Ῥωμαί[ων τῷ]
[κοινῷ τῶν περ]ὶ τὸν Διόνυσον τεχνιτ[ῶν τῶν ἐπ' Ἰω]-
[νίας καὶ Ἑλλησπ]ό̣ντου καὶ τῶν περ[ὶ τὸν Καθηγεμόνα]
[Διόνυσον καὶ τοῖς] σ̣ὺν Κράτω̣[νι Ζωτίχου Ἀτταλισταῖς]
[χαίρειν· — — — — — — — — — — — — — — — — — — — — — —]

4. *IG* II² 1132, Αθήνα – Δελφοί, 134-129 π.Χ.

δεδόχθαι τοῖς [Ἀμφικτίοσιν **εἶ]-**
**ναι τοῖς ἐν Ἀθήναις τεχνίταις τήν τε ἀσυλίαν [κ]αὶ τὴ[ν ἀσφάλειαν εἰς]**
**τὸν ἀεὶ χρόνον καθὰ καὶ ἐξ ἀρχῆς ὑπῆρχεν, καὶ ε[ἶνα]ι αὐ[τοὺς στρατείας]**

**[ἀ]τελεῖς καὶ μὴ ἐξεῖναι μηθενὶ ἄγειν τὸν τεχ[νί]τη[ν τὸν μετέχον]-**
**τα τῆς ἐν Ἀθήναις συνόδου μήτε πολέμου μήτ[ε] ε[ἰρήνης μηδὲ συ]-**
**λᾶν μηδὲ ῥυσιάζειν ἀλλ’ εἶναι αὐτοὺς ἱεροὺς καὶ [ἀπολυπραγμο]-**
**νήτους, ἐὰν μή τις ἄγῃ τινὰ τούτων πρὸ[ς] ἰδίον χρέ[ος**· ἐὰν δέ τις πα]-
ρὰ ταῦτα ποιῆι, ὑπόδικος ἔστω ἐν Ἀμφικ[τί]οσιν καὶ [αὐτὸς καὶ ἡ πό]-
λις, ἐν ἧι ἂν τὸ ἀδίκημα κατὰ τοῦ τεχνί[του] συντ[ε]λε[σθῆι, ἵνα τού]-
των γινομένων ὑπάρχηι ἥ τε **ἀσυλία καὶ ἡ ἀ[σ]φάλεια τ[οῖς τεχνίταις]**
τοῖς ἐν Ἀθήναις καὶ οἱ Ἀμφικτίονες φαίνωνται ἀκόλο[υθα] πρά[ττον]-
τες τῆι τῶν προγόνων αἱρέσει. ἀναγράψαι δὲ τὸ δόγμα ἐ[ν Δ]ελφοῖς, ὁ-
[μ]οίως δὲ καὶ διαποστείλασθαι τοῦ δόγματος τοῦδε ἀντί[γ]ραφον πρὸς
τὸν δῆμον τὸν Ἀθηναίων, ὅπως παρακολουθῆι τὰ δεδογμέ[ν]α φιλάν-
θρωπα παρὰ τῶν Ἀμφικτιόνων τοῖς ἐν Ἀθήναις τεχνίτα[ις· **ε]ἶναι δὲ**
**ταῦτα τοῖς ἐν Ἀθήναις τεχνίταις, ἐὰν μή τι Ῥωμαίοις ὑπ[εν]αντίον ἦ[ι].**

5. *IG* XII 4, 252, Κως, 84-81 π.Χ.
ἀγαθᾶι τύχαι·
[Λ]εύκιος Κορνήλιος Λευκίου υἱὸς Σύλλας Ἐπα-
φρόδειτος δικτάτωρ Κῴων ἄρχουσι βουλῆ
δήμῳ χαίρειν· ἐγὼ Ἀλεξάνδρῳ Λαοδικεῖ κι-
θαριστῆ, ἀνδρὶ καλῷ καὶ ἀγαθῶι καὶ φίλῳ ἡμε-
τέρῳ, πρεσβευτῆ παρὰ τοῦ κοινοῦ τῶν περὶ τὸν Διό-
[ν]υσον τεχνιτῶν τῶν ἐπὶ Ἰωνίας καὶ Ἑλλησπόντου
[καὶ τ]ῶν περὶ τὸν καθηγεμόνα Διόνυσον ἐπέτ[ρε]-
[ψα στήλην π]αρ’ ὑμεῖν ἐν τῷ ἐπισημοτάτῳ τόπωι ἀναθή-
[σεσθαι, ἐν ᾗ] ἀναγραφήσεται τὰ ὑπ’ ἐμοῦ δεδομέν[α]
[τοῖς τεχνίταις] φιλάνθρωπα· πρεσβεύσαντος δ[ὲ]
[νῦν αὐτοῦ εἰς Ῥώμην, τ]ῆς συνκλήτου δὲ δόγμα π̣[ερὶ]
[τούτων ψηφισαμένης, ὑμᾶς] ο̣ὖν θέλω φροντίσαι, ὅπως [ἀπο]-
[δειχθῆ παρ’ ὑμεῖν τόπος ἐπισ]ημότατος ἐν ᾧ ἀναθή-
[σεται ἡ στήλη ἡ περὶ τῶν τεχνιτῶ]ν· ὑπογέγραφφα δὲ
[τῆς παρ’ ἐμοῦ ἐπιστολῆς τοῦ τε δόγματος] τῆς συνκλ[ή]-
[του τὰ ἀντίγραφα — — — — — — — — — — — — — —]ΙΤ
[— — — — — — — — — — — — — — — — — — — — — — — —]
face B, back.
ὑπέδειξεν δὲ καὶ ἣν ἔχετε πρὸς [ἡμ]ᾶς εὔνοι[αν]·
ὑ̣μᾶς οὖν θέλω ἐπεγνωκέναι ἐμὲ ἀπὸ συμβο[υ]-
λίου γνώμης γνώμην ἀποπεφάνθαι, **ἃ φιλάνθ[ρ]-**
**[ω]π̣α κα[ὶ] τιμὰς ἀλειτουργησίας τε ὑμεῖν καταλο-**
**γῆς τοῦ Διονύσου καὶ τῶν Μουσῶν καὶ τῆς πο[λι]-**
**τείας ὑμῶν χάριτι** σύγκλητος ἄρχοντές τε [ἢ ἀν]-
τάρχοντες ἡμέτεροι ἔδωκαν σ[υνεχώ]-
ρησαν, ἵνα ταῦτα ἔχητε, καὶ κ[αθὼς καὶ πρὶν]
**πάσης τε λειτουργίας ἀλε[ιτούργητοι ἦτε]**
**στρατείας τε, μήτε τινὰ [εἰσφορὰν ἢ δαπά]-**
**νας εἰσφέρητε, μήτε [ἐ]ν̣[οχλῆσθε ὑπό τινος]**
**παροχῆς ἕνεκέν τ[ε καὶ ἐπισταθμείας, μήτε]**
**τινὰ δέχεσθ[αι καταλύτην ἐπαναγκάζησθε]**·
ἵνα δὲ κ̣α̣ὶ̣ [— — — — — — — — — — — — — — — —]
ΙΟΝΙΙ[— — — — — — — — — — — — — — — — — — — —]
ἀναγ[ρ— — — — — — — — — — — — — — — — — — —]
[— — — — — — — — — — — — — — — — — — — — —]

6. *SB* I 4224 = *P.Lond.* I, 137v = Sherk, *RDGE* 57, 42/1 π.Χ.
Μάρκος Ἀντώνιος Αὐτοκράτωρ τριῶν ἀνδρῶν δημοσίων πραγμάτων ἀποκαταστάσεως τῶι κοινῶι τῶν ἀπὸ τῆς Ἀσίας Ἑλλήνων χαίρειν. καὶ πρότερον ἐντυχόντος μοι ἐν Ἐφέσωι

Μάρκου Ἀντωνίου Ἀρτεμιδώρου, τοῦ ἐμοῦ φίλου καὶ ἀλείπτου, μετὰ τοῦ ἐπωνύμου τῆς συνόδου τῶν ἀπὸ τῆς οἰκουμένης ἱερονικῶν καὶ στεφανιτῶν ἱερέως Χαροπείνου Ἐφεσίου, **περὶ τοῦ <τὰ> προϋπάρχοντα τῆι συνόδωι μένειν ἀναφαίρετα, καὶ περὶ τῶν λοιπῶν ὧν ᾐτεῖτο ἀπ᾽ ἐμοῦ τιμίων καὶ φιλανθρώπων τῆς ἀστρατευσίας καὶ ἀλειτουργησίας πάσης καὶ ἀνεπισταθμείας καὶ τῆς περὶ τὴν πανήγυριν ἐκεχειρίας καὶ ἀσυλίας καὶ πορφύρας,** ἵνα συνχωρήσῃ γράψαι παραχρῆμα πρὸς ὑμᾶς, συνχωρῶ βουλόμενος καὶ διὰ τὸν ἐμὸν φίλον Ἀρτεμίδωρον καὶ τῶι ἐπωνύμωι αὐτῶν ἱερεῖ εἴς τε τὸν κόσμον τῆς συνόδου καὶ τὴν αὔξησιν αὐτῆς χαρίσασθαι. καὶ τὰ νῦν πάλιν ἐντυχόντος μοι τοῦ Ἀρτεμιδώρου ὅπως ἐξῇ αὐτοῖς ἀναθεῖναι δέλτον χαλκῆν καὶ ἐνχαράξαι εἰς αὐτὴν περὶ τῶν προγεγραμμένων φιλανθρώπων, ἐγὼ προαιρούμενος ἐν μηδενὶ καθυστερεῖν τὸν Ἀρτεμίδωρον περί τ<ιν>ων ἐντυχόντα ἐπεχώρησα τὴ[ν ἀνά]θεσιν τὴν δέλτο(υ) ὡς παρακαλεῖ [με]. ὑμῖν δ(ὲ) γέγραφα περὶ τούτων.

7. *BGU* IV 1074 = *P.Agon.* 1, Ερμόπολις/Αίγυπτος, 273/4 μ.Χ.
[Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστὸς Γερμανικός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσ]ίας τὸ β, ὕπατος τὸ γ, αὐ[τοκρ]άτωρ τὸ δ, πατὴρ πατρίδο̣ς, <τοῖς> ἀπὸ τῆς οἰκουμένης περὶ τὸν Διόνυσον ἱερονείκαις, στεφανείταις καὶ τοῖς τούτων συναγωνισταῖς χαίρειν· τὰς μὲν [εἰκόνας ὃν τρόπον εὐσεβούμεθα μετὰ τῆς πρεπούσης τιμῆς ἀνιστάνειν ἐπιτρ]έ̣π̣ω, τὰ δὲ [ὑ]πὸ το[ῦ] θ̣[ε]οῦ Σεβαστοῦ δ[εδ]ομένα ὑμῖν νόμιμα καὶ φιλάνθ[ρ]ωπα συντηρῶ. οἱ π[ρ]εσ[β]εῖς ἦσαν Κλαύδιος Φο[ῖβ]ος, Κλαύδιος Ἐπάγαθος, Κ[λα]ύδιος Διονύσιος, Κλαύδιος Θ̣άμυρις, [Κλαύδιος Κάστωρ, Ἀντώνιος Νατάλειος υἱός, Λόγιος (?)] -ca.?- . [ἔρρωσθε. ἐγένετο] ἐν Ῥώμῃ Τ[ιβ]ερίῳ Κλαυδίῳ Καίσαρι Σεβαστ[ῷ] καὶ Οὐιτελλίῳ τὸ β’ [ὑπ]άτοις.

Κεφ[ά]λαιον ἐκ διατάγματος θεοῦ Ἁδριανοῦ περὶ τῶν δ̣ο[θ]εισῶν δωρεῶν τῇ συνόδῳ· ὧν δέ ε[ἰσι]ν **ἀσυλία, προε[δρία, ἀστρατία, λιτουργιῶν] [δημοσίων ἀτέλεια, ἀτελῆ ἔχειν ὅσα ἂν ἐπάγω]ν̣τ̣α̣ι̣ χ̣ρ̣ε̣ί̣α̣ς̣ ἰ̣δ̣ίας ἢ τῶν ἀ̣γ̣ώνων ἕ̣ν[εκα], μὴ κρίνειν, μὴ καθισ[τ]άνειν ἐγγυητ[ά]ς, ἀνεισφορίας αὐτῶν, συνθυσίας, μὴ δέχεσθαι πρὸς ἀνάγκην ξένους, μὴ εἴργεσθαι μηδὲ ἄλλῃ τινὶ φρου[ρ** - ca.38 –

ἐπιστολὴ θεοῦ] Σεο[υ]ήρου· ἦ[ν ε]ἰκὸς ὑμᾶς τοὺ[ς] τὴν ἱερὰ[ν] σύ[ν]οδ[ο]ν νέμοντας ἐ[ν] τῇ πατρίδι μου ἡσθῆναι ἐπὶ τῷ εἰς ἐμὲ περιεληλυθέναι τὴν τῶν ὅλων κηδεμονίαν καὶ βασ[ι]λείαν <καὶ> διὰ ψηφίσματο[ς] φανερὰ [ποιῆσαι τὴν γνώμην ἣν ἔχετε πρὸς ἡμᾶς· εὐχαριστεῖν δὲ ἐπὶ τού(?)]τοις βουλόμενος, **ὁπόσα εἴ[χ]ετε ἐξ ἀρχῆς [ὑ]πὸ τῶν πρὸ ἐμ[ο]ῦ αὐτοκρ[ατό]ρων δεδομένα ὑμῖν δίκαια καὶ φιλάνθρωπα, ταῦτα καὶ αὐτὸς φυλάττω, προσαύξειν ἐθέλων καὶ διὰ τιμῆς ἄγειν [ἄνδρας μουσικοὺς καὶ ταῖς πρὸς τὸν Διόνυσον θρησκείαις ἀνακειμένο]υ̣ς̣**. εὐ[τυχεῖτ]ε.

θεῶν Σεουήρου κ[αὶ] Ἀντωνείνου· τοῖς ψηφί[σ]μασιν ὑμῶν κ[αὶ] πάνυ πεφροντισμένω[ς] ἐνετύχομεν ὡς μήτε ὑστερεῖν τι ὑμῖν τῶν ὑπαρχόντων δικαίων μή[τε - ca.10 - μήτε τι τῶν ἐκ παλαιοῦ νενομισμένων μήτε τι τῶν ἐπὶ τὸ βέ]λλειον παρ[εσχημένων]. εὐ[τ]υχεῖτε.

Θεοῦ [Ἀλε]ξάνδρου. ὅσα θεῷ Ἀντωνείνῳ πατρὶ ἐμῷ καὶ θεῷ Ουήρῳ πάππῳ μου καὶ τοῖς ἄνωθεν προγόνοις ἐκρίθη περὶ ὑ[μῶν καὶ τῶν δεδομένων ὑμῖν δικαίων, πολλάκις ἀπεφηνάμην(?)] ὅ̣τ̣ι [κύρι]α εἶναι. οἱ καθ’ ἑ[κάστην πα]νήγυριν ἀγωνοθέται πειθαρχήσουσιν.

[Ὀξυρυγχειτῶν τῆς λαμπρᾶς καὶ λαμπροτάτης πόλεως ἄρχουσι βουλῇ διὰ Αὐ]ρηλίου Εὐπόρου τοῦ καὶ Ἀγαθοῦ Δαίμο[νος, γενομ]έ[ν]ου κοσμητοῦ, ἐξηγητοῦ, εὐθηνιάρχου, ὑπομνηματογράφου τῆς λαμπροτάτης πόλεως τῶν Ἀλεξανδρέων, ἐξηγητεύσαντος, πρυτανεύσαντος, [βουλευτοῦ, ἐνάρχου πρυτάνεως τῆς λαμπρᾶς καὶ λαμπροτάτης Ὀξυρυγχ]ειτῶν πόλεως, Αὐρήλιος Ἀπολλοδίδυμος Πλουτίωνος ἀπὸ τῆς λαμπρᾶς καὶ λαμπροτάτης Ὀξυρυγχειτῶν πόλεως, γραμματεὺς τῆς ἱερᾶς συνόδου τοῖς ἀξιολογωτάτοις χαίρειν· **τοῦ γενομένου ψηφίσμα[τος περὶ τοῦ κατατετάχθαι ἐμὲ εἰς τὴν σύνοδον καὶ τῶν προτ]εταγμένων τῶν περὶ ἀσυλίας θείων αὐτοκ[ρα]τορικῶν διατάξεων τὰ ἴσα ἐντάξας καὶ ἐπιφέρων ἀξιῶ ἀκόλουθα ὑμᾶ̣ς̣ τούτοις πρᾶξαι.**

[ἔτους ε Αὐτοκράτορος Καίσαρος Λουκίου Δομιτίου Αὐρηλιανοῦ Γωθικοῦ με]γίστου, Καρπικοῦ μεγ[ί]σ[τ]ου, Εὐσεβοῦς Εὐτυχοῦς Σεβ[α]στοῦ, Τῦβι. [ἡ ἱερὰ μουσικὴ περιπολιστικὴ Αὐρηλιανὴ οἰκουμενικὴ μεγάλη σύνοδος τοῖς] ἀ[πὸ] τῆς [αὐ]τῆς συνόδου χαίρει[ν. ἡ ἱε]ρὰ μουσικὴ περιπολιστικ[ὴ] Αὐρηλιανὴ μεγάλη σύνοδ[ο]ς τοῖς περὶ τὸν Διόνυσον τεχνείταις, ἱερονείκαις, στεφανείταις χαίρειν· γεινώσκε[τε καταταγέντα εἰς τὴν ἱερὰν μουσικὴν περιπολιστικὴν οἰκουμενικ]ὴν σύνοδον Μᾶρκον Αὐρήλιον Ἀπολλο[δ]ί[δυμ]ον Πλουτίωνος, γραμματέα, καὶ **ἀποδεδωκότα <τὸ> κατὰ τὸν νόμον τὸν βασιλικὸν ἐντάγιον πᾶν ἐκ πλήρους (δηνάρια) σν καὶ τὰ εἰς τὰς τιμὰς τοῦ Σεβαστ(οῦ) ἱερὰ τελέσματα**. ἐγράψαμεν οὖν ὑμῖν, ἵν’ εἰδῆτε. ἔρρωσθε.

ἐγένετο ἐν τῇ λαμπ]ρᾷ καὶ λαμπροτάτῃ Ὀ[ξυρυγχειτῶ]ν [πό]λει, ἀγῶνος ἀγομένου πρώτου ἱεροῦ εἰσελαστικοῦ οἰκουμενικοῦ πενταετηρικοῦ σκηνικοῦ γυμνικοῦ ἱππικοῦ ἰσοκαπιτωλίου τῶν [μεγάλων Καπιτωλίων - ca.27 - ἐπὶ ἀρχόντων] τῆς ἱερᾶς [μ]ουσ[ι]κῆ[ς] σ[υνό]δου, [πρωτ(?)]άρχοντος Σαραπ[ά]μμωνος, κ[ή]ρυκος, Ἀλεξανδρ[έ]ως, ἱερονείκου, Καπιτωλιωνείκου, παραδόξου, γραμματεύοντος Παύλου, σαλπικτοῦ, [Ἀντινοέως - ca.30 - ἄρχοντος νομοδείκτου Μ]άρκου Αὐρηλίου Σιλβαν[οῦ], Ἑρμο[πολίτο]υ, Ῥωμαίου καὶ Ἀθηναίου, ἱερονείκου, πλειστονείκου, παραδόξου. Μᾶρκος Αὐρήλιος Σαραπάμμων, Ἀλεξανδρεὺς καὶ Ἑρμοπολείτης [κῆρυξ, ἱερονίκης, Καπιτωλιονίκης, παράδοξος, (?)- ca.10 - πρωτάρ]χων τῆς ἱερᾶς μουσικῆ[ς] περιπολεισ[τ]ικῆς Αὐρηλιανῆς οἰκουμενικῆς μεγάλης συνόδου ἔγραψα καὶ ἐσφράγισα καταταγέντι ἐπ’ ἐμοῦ ἐν τῇ λαμπρᾷ καὶ λαμπροτάτῃ Ὀξυρυγχει[τῶν πόλει, ἀγῶνος ἀγομένου πρώτου ἱεροῦ εἰσελαστικοῦ οἰκουμενικοῦ πεντα]ετηρικοῦ σκηνικοῦ ἱππ[ι]κοῦ γ[υμν]ικ[ο]ῦ ἰσ[ο]καπιτωλίου τῶν με[γ]άλων Καπιτωλίων, Μάρκου Αὐρηλίου Ἀπολλοδιδύμου Πλουτίωνος γρα(μματέως), ὑπέγρ(αψα). Μᾶρκος Αὐρήλιος [Π]αῦλος Ἀντινοεὺς [- ca.60 - ἄ]ρχων γραμματεὺς τῆς [ἱε]ρᾶς περ[ι]πολειστικῆς Αὐ[ρη]λιανῆς οἰκ[ο]υμενικῆς μεγάλης συνόδου ὑπέγρα[ψ]α καὶ ἐσφράγισα καταταγέντι ἐπ’ ἐμοῦ ἐν τῇ λαμπρᾷ καὶ λαμπροτάτῃ [Ὀξυρυγχειτῶν πόλει, ἀγῶνος ἀγομένου πρώτου ἱεροῦ εἰσελαστικοῦ οἰκουμενικοῦ πεν]ταετηρικοῦ σκηνικοῦ ἱππικοῦ γ[υ]μνικοῦ ἰσοκαπιτωλίου τῶν μεγάλων Καπιτολίων, Μάρκῳ Αὐρηλίῳ Ἀπολλοδιδύμῳ γρα(μματεῖ). Μᾶρκος Αὐρήλιος Σ[ιλ]βανὸς Ἑρμοπολείτης [Ῥωμαῖος καὶ Ἀθηναῖος (?)- ca.28 - Περ]γαμηνὸς καὶ Ῥόδιος, σαλπικτής, καπιτωλ[ι]ονείκης ἐπὶ Ῥωμῆς, τρισπυθιονείκης, δεκαολυμπιονείκης, δωδεκαα
κτιονείκης, τρισκαιδεκαασκληπιονείκης, νεμιονείκης, [- ca.42 - παρά]δοξος, ἄρχων ν[ο]μοδί[κ]της τῆς ἱερᾶς μουσικ[ῆ]ς περιπολιστικῆς Αὐρηλ[ι]ανῆς οἰκουμενιονικῆς μεγάλης συνόδου ὑπέγραψα καὶ ἐσφράγισα καταταγέντι ἐπ’ ἐμοῦ ἐν τῇ λαμπρᾷ [καὶ λαμπροτάτῃ Ὀξυρυγχειτῶν πόλει, ἀγῶνος ἀγομένου π]ρ[ώτου] ἱεροῦ εἰσελαστ[ικο]ῦ οἰκουμενικοῦ πενταετηρικοῦ σκηνικοῦ ἱπ[π]ικοῦ γ[υ]μνικοῦ ἰσοκαπιτωλίου τῶν μεγάλων Καπ[ιτ]ωλίων· Μάρκου Αὐρηλίου Ἀπολλοδιδύμ(ου) Πλουτίωνος γρα(μματέως). Μᾶρκος Αὐρήλιος Πτο[- ca.21 - ἀρχιγραμματεύς(?)], [γραμματεύσας τῆς ἱερᾶς μ]ουσικῆς οἰ[κου]μενικῆς Αὐρηλιανῆς περιπολειστικῆς μεγάλης συνόδου ἐτέλεσα τὴν διπλῆν.

8. *I.Alexandreia Troas* 1, Αλεξάνδρεια Τρωάς, 133-134 μ.Χ.
ἀγαθῇ τύχῃ·
Αὐτοκράτωρ Καῖσαρ θεοῦ Τραιανοῦ Παρθικοῦ υἱός,
θεοῦ Νέρβα υἱωνός, Τραιανὸς Ἁδριανὸς Σεβαστός,
ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ ιη´, ὕπα-
τος τὸ γ´, πατὴρ πατρίδος, συνόδῳ θυμελικῇ περιπο-
λιστικῇ τῶν περὶ τὸν Διόνυσον τεχνειτῶν ἱερονεικῶν στεφα-
νειτῶν *vacat* χαίρειν·

ἐπέστειλα καὶ τοῖς τῶν ἐθνῶν συνεδρίοις δηλῶν, ὅτι Ἐφέσιοι τὰ ἐν Βαλβιλλείοις ἀγωνίσματα εἰς δύο ἀγῶνας καταδιένειμαν
καὶ δεῖ τοὺς τὰ Ἁδριάνεια ἐκεῖ νεικῶντας **οὕτως λαμβάνειν τὰς συντάξεις ὡς ἐλάμβανον, ἡνίκα τὰ Βαλβίλλεια ἐνείκων**. γέγραπται
<τ>οῦτο καὶ Πετρωνίῳ Μαμερτείνῳ, τῷ φίλῳ μου καὶ ἐπάρχῳ τῆς Αἰγύπτου, **ὡς κἀκεῖ τελοῖτο τοῖς νεικῶσι τὰ ’Εφεσίων Ἁδριάνεια ἡ οὖσα**

**ὑμεῖν ἀλειτουργησία καὶ ἀτέλεια βεβαία ἔστω. τοῖς δὲ ἀποθνῄσκουσιν ἀθληταῖς καὶ μουσικοῖς, οἳ τὸν ὅλον βίον διατελοῦσιν ἀποδημοῦντες, φιλάνθρωπόν ἐστιν ἀνεῖσθαι τὰ τέλη τὰ ἐπὶ ταῖς ταφαῖς. αἱ συντάξεις ἐπὶ ταῖς νείκαις οὐκ ἀφ’ ἧς ἂν εἰσελάσῃ τις ἡμέρας ὀφείλονται, ἀλλὰ ἀφ’ ἧς ἂν τὰ περὶ τῆς νείκης γράμματα ἀποδοθῇ ταῖς πατρίσιν αὐτῶν· τοῖς δὲ ἐπὶ ἀγῶνας ἄλλους ἐπειγομένοις ἐξέστω καὶ πέμπειν τὰ γράμματα. οἱ κατὰ τοὺς τῆς συνόδου νόμους συνβάλλοντες, κα[ὶ] ἂν παύσωνται ἀσκοῦντες κἂν Ῥωμαῖοι γένωνται, ἐκείνοις τοῖς νόμοις ἐνεχέσθωσαν, καθ’ οὓς συμβεβλήκασιν. τοὺς νόμους τοὺς τῶν ἀγώνων καθ’ ἑκάστην πανήγυριν προγεγράφθαι κελεύω, ὡς μὴ ὑπὸ ἀγνοίας πράττοιτό τι τῶν ἀπειρημένων. ἐν ταῖς ἐνκρίσεσιν πολείτῃ συνηγορεῖν μὴ ἐξέστω, ἐπειδὴ νομίζεται διὰ τὰς ἐπιχωρίων δυνάμεις ἀδίκους γείνεσθαι τὰς ἐνκρίσεις. τὰ νενομισμένα δικαστήρια περὶ τῶν ζημιῶν ἀποδιδόσθω κατὰ τοὺς παρ’ ἑκάστοις νόμους.** τοῦ δὲ γείνεσθαι ταῦτα πάντα, ὡς ἐγὼ διέταξα, ἐπιμελήσονται παρ’ ἑκάστοις οὗτοι ἔθνους ἡγού<με>νοι· συνχωρῶ δὲ ὑμεῖν, ἔνθα ἂν βούλησθε, καὶ στήλλαις ἐνγράψαι αὐτά, ὡς πᾶσιν εἴη γνώριμα.

vacat εὐτυχεῖτε.

9. *Cod.Iust.* 10.54.1

Impp. Diocletianus et Maximianus AA. et CC. Hermogeni. Athletis ita demum si per omnem aetatem certasse, coronis quoque non minus tribus certaminis sacri, in quibus vel semel Romae seu antiquae Graeciae, merito coronati, non aemulis corruptis ac redemtis probentur, civilium munerum tribuit solet vacatio.

ΕΠΙΛΟΓΗ ΠΡΟΤΕΙΝΟΜΕΝΗΣ ΒΙΒΛΙΟΓΡΑΦΙΑΣ


Aneziri, S. 2003. Die Vereine der dionysischen Techniten im Kontext der hellenistischen Gesellschaft. Historia Einzelschr. 163. Stuttgart

Aneziri, S. 2009. “World travellers: the associations of Artists of Dionysus”, in R. Hunter – I. Rutherford (eds.), *Wandering Poets in Ancient Greek Culture*. Cambridge: 217-236

Ebert, J. 1987. “Zum Brief des Marcus Antonius an das κοινὸν Ἀσίας”, *Archiv für Papyrusforschung und verwandte Gebiete* 33: 37-42

Fauconnier, B. 2016. “Athletes and Artists in an Expanding World. The Development of Transregional Associations of Competitors in the First Century BC”, in C. Mann – S. Remijsen – S. Scharff (eds.), *Athletics in the Hellenistic World*, Stuttgart: 73-93

Fauconnier, B. 2017. “The Organisation of Synods of Competitors in the Roman Empire”, *Historia: Zeitschrift Für Alte Geschichte* 66: 442–467

Frisch, P. 1986. *Zehn agonistische Papyri*, Opladen [P.Agon.]

Harter-Uibopuu, K. 2009. “Τὰ νενομισμένα δικαστήρια περὶ τῶν ζημιῶν. Zur gerichtlichen Kontrolle von Strafen nach den Anweisungen Hadrians an die dionysischen Techniten”, *Zeitschrift für Papyrologie und Epigraphik* 171: 109-112

Le Guen, Br. 2001. Les associations de Technites Dionysiaques a l’epoque hellenistique. 2 vols. Paris

Petzl, G. – Schwertheim, E. 2006. *Hadrian und die dionysischen Künstler: Drei in Alexandria Troas neugefundene Briefe des Kaisers an die Künstler-Vereinigung*. Asia Minor Studien 58. Bonn [*I.Alexandreia Troas*]

Haensch, R. 2008. "Des empereurs et des gouverneurs débordés. À propos des lettres d'Hadrien aux technites Dionysiaques récemment publiées", *Cahiers du Centre Gustave Glotz* 19: 177-186

Jones, C. P. 2007. "Three New Letters of the Emperor Hadrian", *Zeitschrift für Papyrologie und Epigraphik* 161: 145-156.

Le Guen, B. 2010. "Hadrien, l'empereur philhellène, et la vie agonistique de son temps. À propos d'un livre récent", *Nikephoros* 23: 205-239.

Slater, W. J. 2008. "Hadrian's letters to the Athletes and Dionysiac Artists Concerning Arrangements for the "Circuit" of Games", *Journal of Roman Archaeology* 21: 610-620

Pleket, H. W. 1973. "Some Aspects of the History of the Athletic Guilds", *Zeitschrift für Papyrologie und Epigraphik* 10: 197-227.

Remijsen, S. 2014. "The International Synods in the Tetrarchic Period. On the Limitation of Agonistic Privileges and the Costs of Exclusivity", *Nikephoros* 27: 239-262

Ricciardetto, A. 2012. "La lettre de Marc Antoine (SB I 4224) écrite au verso de l'Anonyme de Londres (P.Brit. Libr. inv. 137 = MP$^3$ 2339)", *Archiv für Papyrusforschung und verwandte Gebiete* 58: 43–60

Slater, W. J. 2015. "Victory and Bureaucracy: The Process of Agonistic Rewards", *Phoenix* 69: 147-169

Van Nijf, O. M. 2006. "Global Players: Athletes and Performers in the Hellenistic and Roman World", in I. Nielsen (ed.), *Zwischen Kult und Gesellschaft: Kosmopolitische Zentren des antiken Mittelmeerraumes als Aktionsraum von Kultvereinen und Religionsgemeinschaften*. Hephaistos 24: 225-235